Τρίβῳ κατέξαινον ἄνθος Ἀργείων·
Ἐπεὶ δὲ καὶ πικροῦ χείματος ἄλλο μῆχαρ
Βριθύτερον πρόμοισι
Μάντις ἔκλαγξε προφέρων
Ἄρτεμιν, ὥστε χθόνα βάκτροις ἐπικρούσαντας Ἀτρείδας δάκρυ μὴ κατασχεῖν·
Ἄναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν· ἀντ. δ'.
Βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι·
Βαρεῖα δ' εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα,
Μιαίνων παρθενοσφάγοισι
Ῥείθροις πατρῴους χέρας βωμοῦ πέλας.
Τί τῶνδ' ἄνευ κακῶν; πῶς λιπόναυς γένωμαι
Ξυμμαχίας ἁμαρτών;
Παυσανέμου γὰρ θυσίας
Παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις; εὖ γὰρ εἴη.
Ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον, στρ. ε'.
Φρενὸς πνέων δυςσεβῆ τροπαίαν ἄναγνον, ἀνίερον, τόθεν
Τὸ παντότολμον φρονεῖν μετέγνω·
Βροτοῖς θρασύνει γὰρ αἰσχρόμητις
Τάλαινα παρακοπὰ πρωτοπήμων·
Ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρὸς γυναικοποίνων πολέμων ἀρωγὰν,
Καὶ προτέλεια ναῶν·
Λιτὰς δὲ καὶ κληδόνας πατρῴους ἀντ. ε'.
Παρ' οὐδὲν αἰῶν απαρθένειόν τ' ἔθεντο φιλόμαχοι βραβῆς.
Φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν,
Δίκαν χιμαίρας ὕπερθε βωμοῦ
Πέπλοισι περιπετῆ, παντὶ θυμῷ
Προνωπῆ λαβεῖν ἀέρδην, στόματός τε καλλιπρῴρου φυλακὰν κατασχεῖν

---

161. ὅς τε 163. πείθεσθαι 165. παρθενοσφάγοις 166. MSS. ῥεέθροις 167. τίς πῶς λιπ. = τί τῶς λ. — λιπόναυς τε 170. ὀργᾶ (ὀργαὶ) = αὐδᾷ θέμις· — γὰρ εὖ εἴη 172. (ἀνίερόν θ' ὅθεν) 173. τὸ πάντολμον 179. v. παρθένιον — MSS. τ' om. — βραβεῖς 180. φράσε 181. χειμαίρας 183. (βαλεῖν) — καλλίπρωρον — φυλακαγκατασχεῖν